Bis. Καρυστίους.) Κάρυστος, πόλις τῆς Εὐβοίας, ἀπὸ Καρύστου τοῦ Χείρωνος Χειρωνία καλουμένη. ἐκαλεῖτο καὶ Αἰγαία ἀπὸ Αἴγωνος τοῦ δυναστεύοντος. ἔστι καὶ Κάρυστος τόπος τῆς Αἴγυος πρὸς Ἀρκαδίαν. ἀφ' οὗ Καρύστιον οἶνον Ἀλκμὰν ἔφη, καθὰ Στράβων δεκάτῃ τῆς προτέρας. Ταῦτα ὁ Στέφανος ἐν τῷ περὶ πόλεων. Δελφάκιον) μικρὸς χοῖρος. τέθυχ' ὥστε, τέθυκα ὥστε, παρὰ τὸ θύειν. θῦσαι δέ, σφάξαι, θυσιάσαι. εἰς ἐμοῦ, οἶκον δηλαδή. Μήδ' ἔρεσθε) ἔρεσθε, πυνθάνεσθαι, ἐρωτᾶν. Σημείωσαι δὲ τὸ μὴ ἀπαγορευτικὸν ἐπίρρημα καταμόνας γραφὲν ἀεὶ ὀξυτονεῖσθαι. ἀλλὰ μετὰ τοῦ δὲ συνδέσμου διαφόρως γεγραμμένον εὑρίσκεσθαι φωνήεντος ἑπομένου. ὅτε μέν, οὕτω, μήδ' ἕνα. ὅτε δὲ, μὴ δ' ἕνα. ἐνίοτε δὲ καὶ ἄνευ τόνου, μηδ' ἕνα. ὡς καὶ ἐν τῷ ἀλλὰ ποιεῖται, ἀλλ' ἕνα. καὶ ὅταν μὲν μήδ' ἕνα γράφηται, ὁ τόνος τοῦ ε ψιλοῦ εἰς τὴν προτέραν συλλαβὴν ἀνέλκεται, ὡς καὶ ἐν τῷ δεῖν' ἔπη, ἀντὶ τοῦ δεινὰ ἔπη. ὅτε δὲ διῃρημένως γράφηται, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, μὴ δ' ἕνα, τότε τὸ μή, μόριον κεχωρισμένον ἀπὸ τοῦ δέ, νοεῖται διὸ καὶ τὸν οἰκεῖον τόνον ἐν τῇ προφορᾷ φυλάττει, καὶ τὸ δὲ διὰ τὸ φωνῆεν ἑπόμενον, τὸ ε ψιλόν, καὶ τὸ ἴδιον τόνον ἀποβάλλει. ὅταν δὲ γράφηται μήδ' ἕνα, τότε ὁ σύνδεσμος δὲ μορίου ἐγκλιτικοῦ τόνον ἔχει, ὡς δῆλον ἐκ τῶν τοιόσδε, καὶ οἴκαδε, καὶ τῶν παραπλησίων. ταῦτα δὲ πάντα πιθανόν τινα λόγον ἔχειν ἔοικε. Ἄντικρυς) ἀντικρύ, κατέναντι, ἐξ ἐναντίας. ἄντικρυς δέ, ὅλως, παντελῶς, φανερῶς. οἱ δὲ Γλωσσογράφοι, καὶ Ἀπολλόδωρος ὁ Κυρηναῖος, καὶ ἕτερα φησὶ δηλοῦν καὶ γὰρ διαμπερές, καὶ ἰθύ, καὶ εὐθύ, καὶ ἐπ' εὐθείας, καὶ ἰσχυρῶς καὶ σαφῶς, καὶ ἀκριβῶς, καὶ ἁπλῶς. οἱ δὲ φασιν ἀκριβέστερον, οἶμαι, λέγοντες ὅτι μετὰ τοῦ σ λεγόμενον τὰ εἰρημένα δηλοῖ. ἄνευ δὲ τοῦ σ, ἀντικρὺ τὸ κατέναντι μόνον, καὶ ἐξ ἐναντίας. Σ.

CHR. Ἴσως δ' ἡ θύρα.] An ἴσως est fortaſſis & τάχα (vt de ſenibus omnia ambigentibus ſcribit Ariſtot. in Rhetoricis) an pariter, & ἰσοτρόπως, vt ſit ſenſus, Tam vobis erit aperta hic ianua quam veſtra domeſtica.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ, ΛΑΚΩΝΕΣ,
Ἀθηναῖοι Λυσιστράτη.

Χο.Γε. Καὶ μὴν ἀπὸ τῆς Σπάρτης οἱδὶ πρέσβεις ἕλκοντες ὑπήνας
Χωροῦσιν ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες.
Ἄνδρες Λάκωνες πρῶτα μέν μοι χαίρετε.
Εἶτ' εἴπαθ' ἡμῖν πῶς ἔχοντες ἥκετε.
Λα. Τί δεῖ ποθ' ὔμμε πολλὰ μυσίδδειν ἔπη.
Ὁρῆν γὰρ ἔξεσθ' ὡς ἔχοντες ἥκομες.
Χο.γε. Βαβαί. νενεύρωται μὲν ἥδε συμφορὰ
Δεινῶς. τεθερμῶσθαί γε χεῖρον φαίνεται.
Λα. Ἄφατα. τί κα λέγοι τις; ἀλλ' ὅπᾳ θέλει
Παντᾷ τις ἐλθὼν ἁμὶν εἰράναν σέτω.
Χο.γε. Καὶ μὴν ὁρῶ καὶ τούσδε τοὺς αὐτόχθονας
Ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων
Θοἰμάτι' ἀποστέλλοντας, ὥστε φαίνεται
Ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος.
Αθ. Τίς ἂν φράσειε ποῦ 'στιν ἡ Λυσιστράτη;
Ὡς ἄνδρες ἡμεῖς οὑτοιὶ τοιουτοιί.

CHORVS SENVM, LACONES,
Athenienſes, Luſiſtrata.

CHS. EN adueniunt à Sparta legati, barbámque trahentes
Incedunt, circúmque femora habent paxillum immane rigentem.
Saluete primùm vos viri Laconici,
Dein vt valentes, huc venitis, dicite.
LA. *Cur fruſtra amatis multa verba fundere,*
Videre fas eſt quo venimus in ſtatu.
CH.S. *Papæ calamitas iſta nunc vireſcere*
Videtur, atque in peius exardeſcere.
LA. *Quid plura narres perperam? adſit qui volet*
Modò ille nobis optimam pacem duit.
CH.S. *At verò, & iſtos intuor Aborigines*
Quinquertionum more de ſinibus ſuas
Retrahere veſtes, prorſus hoc morbi genus
Videtur eſſe exercitamenti vicem.
ATH. Quis inſecet nobis vbi eſt Lyſiſtrata?
Adeſſe dicat nos viros eiuſmodi.

Bisetus. Καὶ μὴν) ὁ τῶν γερόντων χορὸς, τοὺς Λακεδαιμονίους πρέσβεις τοὺς ὑπὸ κήρυκος προσκληθέντας ἀσπάζεται. περὶ τῆς διαλλαγῆς ἀλλήλοις ἐντυγχάνουσι, καὶ τοῦ περὶ τούτων ἐντεύξεσι τὴν Λυσιστράτην παρεῖναι κελεύουσι, καὶ τέλος ταύτης συμβουλῇ, καὶ παραινέσει εἰρήνην ποιοῦνται. ἐν ἀρχῇ τοῦ δὲ τοῦ λόγου, δύο στίχοι τετράμετροι ἀναπαιστικοὶ καταληκτικοί. οἱ δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λδ. εἶτα ἄλλοι ἀναπαιστικοὶ ὅμοιοι πρώτοις δ. καὶ αὖθις ἰαμβικοὶ τρίμετροι ἑβδομήκοντα ἑπτά. ὧν ὁ τελευταῖος, Ἄγ' ὅπα τὺ λῇς.
Ἕλκοντες ὑπήνας] ὑπήνη, μύσταξ, τὸ γένειον, ὁ πώγων, ἢ τοῦ ἄνω χείλους τρίχωσις. τὸ δὲ, κάτω, πάππος. Σ. διὰ τούτων δὲ τοὺς τῶν Λακώνων ὑπερβολικῶς ἐπιμήκεις, καὶ δασεῖς πώγωνας χαριέντως καταγελᾷ, ἕλκοντες εἰπὼν ἀντὶ τοῦ ἔχοντες. Χοιροκομεῖον.] οὕτως ἐκάλουν πλεκτὸν ἀγγεῖον, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους περιδήσαντες. ἢ τὸν πάτταλον, ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους ἔτρεφον. τοῦτο δὲ λέγει ἐπειδὴ ἦλθον ἐγκεκολπωμένα τὰ ἱμάτια ἔχοντες. Σ. ἐντεῦθεν δὲ γελοῖον μᾶλλον, ἢ πάσσαλον ἐμφαίνει. καὶ διὰ τούτου τὸ πέος τεταμένον αἰνίττειν βούλεται. Καὶ μὴν δὴ Ἀριστοφάνης τῇδε τῇ λέξει ἀναμφιβόλως παίζειν φαίνεται πρὸς τὰ τῆς συνουσίας ὄργανα, ὧν τὸ μὲν γυναικεῖον, χοῖρον· τὸ δὲ ἀνδρεῖον, πάτταλον πολλάκις ἀλλαχοῦ ὀνομάζει. οὕτως οὖν νοητέον· τοὺς τῶν Λακεδαιμονίων πρέσβεις, πρὸς τοὺς Ἀθηναίους ἵκεσθαι διὰ τῆς συνουσίας ἐπιθυμίαν ἐστυκότας, καὶ τὰ ἱμάτια πρὸ τῆς ἐκτάσεως προβαλόντας, ὥστε τι ὑπὸ τοῖσιν ἱματίοις ἐγκεκολπωμένοις κατακρύπτειν δοκεῖν. ὅπερ δῆλόν ἐστιν ἐκ τῶν ἄνω λεχθέντων, Τί δὴ προβάλλῃ τὴν χλαμύδα; ἢ βουβωνιᾷς ὑπὸ τῆς ὁδοῦ καὶ μετ' ὀλίγον, Ἀλλ' ἐστύκασιν ὦ μιαρώτατε, ταῦτα δὲ πάντα γέλωτος χάριν εἴρηται. Τί δὴ ποθ' ὔμμε] οἱ Λάκωνες Λακωνικῶς λαλοῦσι. ταῦτα δὲ οὕτως ἑρμηνευτέον, Τί δή ποτε πρὸς ὑμᾶς πολλὰ μυθίζειν ἔπη; τί πρὸς ὑμᾶς πλείω μυθήσασθαι, εἴτε λέγειν; ὑπακουστέον δὲ τὸ ῥῆμα, δεῖ, ἢ τὸ χρὴ πρὸς τὸ τῆς συντάξεως, καὶ γνώμης πλήρωμα. ὁρῆν δὲ, ὁρᾶν, ἥκομες, ἥκομεν.